τέχνη ἐστὶν καὶ εἰσὶν οἱ ἀνασκευάζοντες· οἱ μὲν οὖν κατασκευάζοντες εἰσὶν οὗτοι· δεῖ τοὺς τῆς τέχνης ὅρους εἰπεῖν καὶ εἰ ἁρμόζουσιν ἐπὶ τῆς ῥητορικῆς, δῆλον ὅτι τέχνη ἐστίν. Κλεάνθης τοίνυν λέγει, ὅτι τέχνη ἐστὶν ἕξις ὁδῷ πάντα ἀνύουσα· ἀτελὴς δ' ἐστὶν οὗτος ὁ ὅρος· καὶ γὰρ ἡ φύσις ἕξις τίς ἐστιν ὁδῷ πάντα ποιοῦσα· ὅθεν ὁ Χρύσιππος προσθεὶς τὸ μετὰ φαντασιῶν εἶπεν, ὅτι τέχνη ἐστὶν ἕξις ὁδῷ προιοῦσα μετὰ φαντασιῶν· ἡ τοίνυν ῥητορικὴ ὑποπίπτει τῷ ὅρῳ τούτῳ· ἕξις γάρ ἐστιν ὁδῷ καὶ τάξει προιοῦσα· οὕτῳ γ' οὖν ὁ ῥήτωρ προοιμίοις πρότερον κέχρηται· εἶτα προκαταστάσει καὶ καταστάσει καὶ τοῖς ἑξῆς τάξιν ἀσπαζόμενος· Ζήνων δὲ φησίν, ὅτι τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένον πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ· πίπτει τοίνυν καὶ ὑπὸ τοῦτον τὸν ὁρισμὸν ἡ ῥητορική· ἔσχεν γὰρ καὶ σύστημα καὶ κατελήφθη καὶ συνεγυμνάσθη καὶ πρὸς τέλος χρήσιμον ὁρᾷ· πρεσβεύονται γὰρ οἱ ῥήτορες ὑπὲρ πόλεων καὶ τῶν τοιούτων, ὥσπερ Δημοσθένης, ὥσπερ Πύθων, ὥσπερ Αἰσχίνης καὶ οἱ τοιοῦτοι, ὥστε τέχνη ἐστίν.

φαμὲν τοίνυν, ὅτι εἰ μὲν κατὰ ταῦτα χαρακτηρίζονται αἱ 2
τέχναι, τέχνη ἐστίν, εἰ δὲ προσθείημεν τὸ καὶ θέλειν εἰδέναι τὴν τέχνην τὰ ὑποβεβλημένα αὐτῇ καὶ τοὺς λογισμοὺς καὶ αἰτίας ἀποδιδόναι, ὧν ποιεῖ, οὐκ ἔστι τέχνη· οὐδὲ γὰρ τὰ δίκαια οἶδεν οὐδὲ αἰτίας ἀποδίδωσιν· ὡς δὲ καὶ αὐτὸς ὁ Πλάτων ἔχει εἰπεῖν· τέχνη οὐ καλεῖται πᾶν, ὃ ἂν ᾖ ἄλογον πρᾶγμα· οὕτω γ' οὖν καὶ ὁ μὲν ἰατρὸς ἔχει τέχνην ὡς εἰδὼς λόγον ἀποδοῦναι· ὁ δὲ ἐμπειρικὸς οἷον οἰκέτης αὐτοῦ ἤ τις ἄλλος τὰ κατὰ χεῖρα ἐπιστάμενος οὐκ ἔτι, ἐπειδὴ αἰτίαν οὐκ ἀποδίδωσιν· ἀλλ' οὐδὲ τοὺς λόγους ἐπίσταται ὁ ῥήτωρ, περὶ

---

4 Stoic. vet. fr. I 110, 8   6 Stoic. vet. fr. II 23, 19   11 Stoic. vet. fr. I 21, 3

---

11 mg. ση. τὸν τοῦ Ζήνωνος τῆς τέχνης ὁρισμόν   19 mg. ὅτι οὐκ ἐστὶν ἡ ῥητορικὴ τέχνη

---

12 συγγεγυμνάσμενον **M**  συγγεγυμνασμένων Stoic. vet. fr. loci laud.